ἦλθ᾽ ἀρὰ πολύστονος,
λόχευμα ποιμνίοισι Μαιάδος τόκου,
τὸ χρυσόμαλλον ἀρνὸς ὁπότ᾽
ἐγένετο τέρας ὀλοὸν ὀλοὸν
Ἀτρέος ἱπποβώτα·
ὅθεν Ἔρις τό τε πτερωτὸν
ἁλίου μετέβαλεν ἅρμα,
τὰν πρὸς ἑσπέραν κέλευθον
οὐρανοῦ προσαρμόσασα
μονόπωλον ἐς Ἀῶ,
ἑπταπόρου τε δρόμημα Πελειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει,
τῶνδέ τ᾽ ἀμείβει θανάτους θανά-
των τά τ᾽ ἐπώνυμα δεῖπνα Θυέστου
λέκτρα τε Κρήσσας Ἀερόπας δολί-
ας δολίοισι γάμοις· τὰ πανύστατα δ᾽
εἰς ἐμὲ καὶ γενέταν ἐμὸν ἤλυθε
δόμων πολυπόνοις ἀνάγκαις.

ΧΟ. καὶ μὴν ὅδε σὸς σύγγονος ἕρπει
ψήφῳ θανάτου κατακυρωθείς,
ὅ τε πιστότατος πάντων Πυλάδης,
ἰσάδελφος ἀνήρ,
ἰθύνων νοσερὸν κῶλον Ὀρέστου,
ποδὶ κηδοσύνῳ παράσειρος.

ΗΛ. οἲ ᾽γώ· πρὸ τύμβου γάρ σ᾽ ὁρῶσ᾽ ἀναστένω,
ἀδελφέ, καὶ πάροιθε νερτέρων πυρᾶς.
οἲ ᾽γὼ μάλ᾽ αὖθις· ὥς σ᾽ ἰδοῦσ᾽ ἐν ὄμμασι
πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν.

---

999. *ὀλοόν* bis B, semel ceteri. 1000. *Ἀτρέος*] Porsonus, *ἀτρέως* libri. *ἱπποβώτα*] Dindorfius, *ἱπποβάτα* F *C* *ἱπποβότα* ceteri. 1001. *τό τε πτερωτόν γρ. τὸ τέτρωρον* A *τὸ πτερωτόν* BF *τό τε πτερωτόν* c *τὸ πτερωτόν* *C* 1002. *ἁλίου*] Porsonus, *ἀελίου* libri. 1003. *ἕσπερον* c *C* 1004. *προσαρμόσασα* B *προσαρμόσας* ceteri. 1005. *δραμήματα πλειάδος* A *δρόμημα πελειάδος* B cum Eustathio *δρόμημα πλειάδος* Fc *C* 1012. *σὺν πολυπόνοις* *C* 1019. *νερτέρων*] Byzantini, *νερτέρου* ABEFc *νερτέρας* *C* 1020. *ὥς σ᾽ ἰδοῦσ᾽ ἐν ὄμμασι*] Porsonus, *ὡς ἰδοῦσα σ᾽ ἐν ὄμμασι γρ. ὡς ἰδοῦσά σ᾽ ὄμμασι* A *ὡς ἰδοῦσά σ᾽ ὄμμασι* B *ὡς ἰδοῦσ᾽ ἐν ὄμμασι* EF *ὡς ἰδοῦσά σ᾽ ἐν ὄμμασι* c *C*